# ΒΙΟΣ ΑΙΣΧΥΛΟΥ.

ΑΙΣΧΥΛΟΣ ὁ Τραγικὸς, γένος μὲν ἦν Αθηναῖος, Ελευσίνιος τὸν δῆμον, υἱὸς Εὐφορίωνος, Κυναιγείρου ἀδελφὸς καὶ Αμεινίου, ἐξ εὐπατριδῶν τὴν φύσιν ἔχων· νέος δὲ ἤρξατο τῶν τραγῳδιῶν, καὶ πολὺ τοὺς πρὸ αὐτοῦ ὑπερῆρε κατά τε τὴν ποίησιν, καὶ τὴν διάθεσιν τῆς σκηνῆς, τήν τε λαμπρότητα τῆς χορηγίας, καὶ τὴν σκευὴν τῶν ὑποκριτῶν, τήν τε τοῦ χοροῦ σεμνότητα, ὡς καὶ Αριστοφάνης φησὶν,

Αλλ' ὦ πρῶτος τῶν Ελλήνων πυργώσας ῥήματα σεμνὰ,
Καὶ κοσμήσας τραγικὸν λῆρον.

Συνεχρόνισε δὲ Πινδάρῳ, γεγονὼς κατὰ τὴν τεσσαρακοστὴν Ολυμπιάδα. Γενναῖον δέ φασιν αὐτὸν, καὶ μετασχεῖν τῆς ἐν Μαραθῶνι μάχης σὺν τῷ ἀδελφῷ Κυναιγείρῳ, τῆς τε ἐν Σαλαμῖνι ναυμαχίας σὺν τῷ νεωτέρῳ ἀδελφῷ Αμεινίᾳ, καὶ τῆς ἐν Πλαταιαῖς πεζομαχίας. Κατὰ δὲ τὴν